πάσῃ φύσει μεταξὺ οὐρανοῦ τε καὶ γῆς φερομένη, κινεῖται πᾶσα ἐνδελεχῶς ἐν κύκλοις καὶ πέρασιν ἰδίοις· ποτὲ μὲν, ἀφανιζομένη· ποτὲ δὲ, φαινομένη, μυρίας ἰδέας ἀναφαίνουσά τε καὶ πάλιν ἀποκρύπτουσα ἐκ μιᾶς ἀρχῆς. ἔοικε δὲ κομιδῇ τὸ δρώμενον, τοῖς ἐν πολέμου καιροῖς μάλιστα γινομένοις, ἐπειδὰν ἡ σάλπιγξ σημήνῃ τῷ στρατοπέδῳ· τότε γὰρ τῆς φωνῆς ἕκαστος ἀκούσας, ὁ μὲν, ἀσπίδα αἱρεῖται· ὁ δὲ, θώρακα ἐνδύεται· ὁ δὲ, κνημῖδας, ἢ κράνος, ἢ ζωστῆρα περιτίθεται· καὶ ὁ μὲν, ἵππον χαλινοῖ· ὁ δὲ, συνωρίδα ἀναβαίνει· ὁ δὲ, σύνθημα παρεγγυᾷ· καθίσταται δὲ εὐθέως, ὁ μὲν λοχαγὸς, εἰς λόχον· ὁ δὲ ταξίαρχος, εἰς τάξιν· ὁ δὲ ἱππεὺς, ἐπὶ κέρας· ὁ δὲ ψιλὸς, εἰς τὴν ἰδίαν ἐπιτρέχει χώραν· πάντα δὲ ὑφ' ἕνα σημάντορα κινεῖται κατὰ πρόσταξιν τοῦ τὸ κράτος ἔχοντος ἡγεμόνος. οὕτω χρὴ καὶ περὶ τοῦ σύμπαντος φρονεῖν· ὑπὸ γὰρ μιᾶς ῥοπῆς ὀτρυνομένων ἁπάντων, γένεται τὰ οἰκεῖα, καὶ ταύτης ἀοράτου καὶ ἀφανοῦς· ὅπερ οὐδαμῶς ἐστὶν ἐμπόδιον, οὔτε ἐκείνῃ πρὸς τὸ δρᾶν, οὔτε ἡμῖν πρὸς τὸ πιστεῦσαι· καὶ γὰρ ἡ ψυχὴ, δι' ἣν ζῶμέν τε, καὶ πόλεις καὶ οἴκους ἔχομεν, ἀόρατος οὖσα, τοῖς ἔργοις αὐτοῖς ὁρᾶται· πᾶς γὰρ ὁ τοῦ βίου διάκοσμος, ὑπὸ ταύτης εὕρηται, καὶ διατέτακται, καὶ συνέχεται· γῆς ἀρόσεις, καὶ φυτεύσεις· τέχνης ἐπίνοιαι, χρήσεις νόμων, κόσμος πολιτείας, ἔνδημοι πράξεις, ὑπερόριος πόλεμος, εἰρήνη. ταῦτα χρὴ καὶ περὶ θεοῦ διανοεῖσθαι, δυνάμει μὲν ὄντος ἰσχυροτάτου, κάλλει δὲ εὐπρεπεστάτου, ζωῇ δὲ ἀθανάτου, ἀρετῇ δὲ κρατίστου· διότι πάσῃ θνητῇ φύσει γινόμενος ἀθεώρητος, ἀπ' αὐτῶν τῶν ἔργων θεωρεῖται· τὰ γὰρ πάθη, καὶ τὰ δι' ἀέρος ἅπαντα, καὶ τὰ ἐπὶ γῆς, καὶ τὰ ἐν ὕδατι, θεοῦ λέγοιτ' ἂν ὄντως ἔργα εἶναι, τοῦ τὸν κόσμον ἐπέχοντος· ἐξ οὗ κατὰ τὸν φυσικὸν Ἐμπεδοκλέα,

Πάνθ' ὅσα τ' ἦν, ὅσα τ' ἐστὶν, ἰδ' ὅσσα τ' ἔσται ὀπίσω,
Δένδρεά τ' ἐβλάστησε καὶ ἀνέρες ἠδὲ γυναῖκες,
Θῆρές τ' οἰωνοί τε καὶ ὑδατοθρέμμονες ἰχθῦς.

A naturis dedit inter cælum terrámque vehentibus: earum vnaquæque in orbibus suis iugi motu cietur, atque intra suos limites, alternis condita atque apparens: sexcentas illa formas eodem à principio exhibens, vicissimque subducens. Quod verò in hisce rebus agitur, magnopere simile est iis quæ belli tempore inter homines factitantur. Nanque statim vt classicum exaudiri in exercitu cœptum est: a-
B lios ipse videas scuta sibi aptantes: loricam alios induentes: alios ocreas vel galeam sumere, vel balteo se cingere festinanteis. Rursus videas qui frenatos equos admittant: alios qui currus conscendant: qui denique tesseram perexplicatam aciem prodant. Tum manipuli ductor, ad manipulum: Centurio excurrit ad centuriam. Postremò equites ad cornu: velites ad stationem quisque suam festinant: cùm
C interim sub vno ductore omnia moueantur: qui imperia & ipse significanda accepit ab eo, apud quem summa est imperij. Eodem nos & ipsos modo censere conuenit de vniuerso. Quum enim ab vna vi impultrice cieantur omnia: fit vtique quod cuique commodum est & conueniens. Nec verò si ea vis ipsa nec cerni ab hominibus, nec apparere potest: quoquo pacto id obstat. aut illi ad ea quæ diximus
D agenda, aut nobis ad fidem hisce rebus accommodandam. Nam & anima ipsa qua viuimus, qua vrbes, qua domos habitamus: cùm haudquaquam sub aspectum nostrum sita sit, operibus tamen ipsis videtur: omnísque vitæ cultus nitórque vt ab ea inuentus est & descriptus, ita ex ea tenorem suum seruat: Terræ cultura & consitio, artium excogitationes, vsus legum, Reipublicæ rectè atque ordine con-
E stitutę ratio, administrationes ciuiles, bellum extra fines patriæ, & rursus pax in ea. Proinde hæc etiam de Deo sentienda nobis sunt: illo quidem, si vim spectes, valentissimo: si decorem, formosissimo: si vitam, immortali: denique si virtutem, præstantissimo. Quapropter cùm sit inconspicabilis naturæ omni interituræ, ipsis nihilo secius ipse cernitur ab operibus. Atque ea quidem quæ in aeae fiunt quoquo modo affecto, quæ in terra, quæ in aqua, ea certè
F Dei opera esse meritò dixerimus: Dei inquam opera, cum imperio summo Mundum ac pro potestate obtinentis. Ex quo Deo, vt inquit Empedocles physicus,

*Omnia quotquot erunt, quot sunt præsentia quótque*
*Orta fuere antehac stirpes hominésque feræque,*
*Inde etiam volucres piscésque humoris alumni.*